A

Bisetvs. Διπλῆ, καὶ εἴσθεσις εἰς μέλος τροχαϊκὸν, οὗ πέντε ἐστὶ κῶλα δίμετρα ἀκατάληκτα. τὸ ϛ. ἐφθημιμερές. εἶτα ἰαμβεῖον τρίμετρον ἀκατάληκτον.

Ἀτ' ἂν οὖν λέγῃς ἐκεῖνον
Κεἰ πανοῦργος ἦν ὅτ' ἔζη,
Καὶ λάλος, καὶ συκοφάντης,
Καὶ κύκηθρον καὶ τάρακτρον,
Ταῦθ' ἁπαξάπαντα νυνὶ
Τοὺς σαυτοῦ λοιδορεῖς,
Ἀλλ' ὅ, τι σιωπᾷς, ὦ πότνια, κάτειπέ μοι.

Qvicquid ergo in hunc loquaris,
Vixerit licet ſceleſtus,
Et loquax calumniator,
B Cuncta turbans atque miſcens,
Quicquid inquam eris locutus
Hoc omne eſt in tuos.
ſedô verenda fare quid tantum ſiles?

Σχόλια. Ἀτ' ἂν οὖν λέγῃς.] διπλῆ καὶ εἴσθεσις εἰς μέλος τροχαϊκόν. οὗ πέντε μὲν ἐστὶ κῶλα δίμετρα ἀκατάληκτα. τὸ δὲ ϛ ἐφθημιμερές. ἐν ἐκθέσει δὲ ἰαμβεῖον ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. Κεἰ πανοῦργος ἦν.] λεληθότως κωμῳδεῖ αὐτὸν ὡς τοιοῦτον πάλιν, καὶ ταῦτα παραινῶν ἐκεῖνον μὴ λοιδορεῖν αὐτόν. Ἀλλ' ὅτι σιωπᾷς.] πρὸς τὴν εἰρήνην φησί. κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον.

C

CHR. Ἀτ' ἂν οὖν.] Sequentes ſex verſus Dimetri ſunt Trochaici, ſed vltimum ἐφθημιμερῆ eſſe puto, proptereáque legendum σεαυτοῦ non ἑαυτοῦ. Ἀλλ' ὅτι σιωπᾷς.] Redit ad Senarios. Compellat autem ipſam Deam Irenam quę hîc eſt κωφὸν πρόσωπον: vocátque μισοπορπακιστάτην nouo & inſolenti vocabulo. A parte armorum bellica ipſum bellum innuens, id eſt μισοπόλεμον. πόρπαξ ferrum eſt quod medio clypeo hæret: quódque manu prehenditur. Aliàs eſt fibula & πόρπη.

Διπλῆ, καὶ εἴσθεσις εἰς ἰαμβικὰ τρίμετρα ἀκατάληκτα οβ.

Ερ. Ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους,
D Ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.
Τρ. Ἡδ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
Ερ. Εἴφ' ὅ, τι νοεῖς αὐτοῖσι πρὸς ἔμ' ὦ φιλτάτη,
Ἴθ' ὦ γυναικῶν μισοπορπακιστάτη,
Εἶέν γ' ἀκούω, ταῦτ' ἐπικαλεῖς; μανθάνω,
E Ἀκούσαθ' ὑμεῖς ὧν ἕνεκα μομφὴν ἔχει,
Ἐλθοῦσά φησιν αὐτομάτη μετὰ τἀν Πύλῳ,
Σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν,
Ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ 'κκλησίᾳ.
Τρ. Ἡμάρτομεν ταῦτ', ἀλλὰ συγγνώμην ἔχε,
Ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
Ερ. Ἴθι νῦν ἄκουσον οἷον ἄρτι μ' ἤρετο,
Ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
F Χ' ὅστις φίλος κἄσπουδεν εἶναι μὴ μάχας.
Τρ. Εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
Ερ. Ποῖός τις οὖν εἶναι δοκεῖ τὰ πολεμικὰ
Ὁ Κλεώνυμος; Τρ. Ψυχήν γ' ἄριστος, πλήν γ' ὅτι
Οὐκ ἦν ἄρ' ὥσπερ φησὶν εἶναι τοῦ πατρός.
G Εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
Ἀποβολιμαῖος τῶν ὅπλων ἐγίνετο.
Ερ. Ἔτι νῦν ἄκουσον οἷον ἄρτι μ' ἤρετο,
Ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ Πνυκί.

MER. Nihil loquetur illa ſpectatoribus,
Irata quis eſt pro tot anclatis malis.
TRY. Dicat tibi ipſa tantum in aurem ſi quæ volt:
MER. Depone apud me, amica, mentem animi tui,
Age fœminarum ſcutifugientiſſuma:
Tantum eſt, querelas iam tuas intellego.
Audite quæſo quid querens expoſtulet:
Poſt res Pyli actas ſponte vobis adfuit,
Plenamq́ue ciſtam cùm tuliſſet fœderum
In concione ſe ter exploſam autumat.
TR. Peccauimus, ſed eſt quod ignoſcat Dea,
Nam tota erat tunc noſtra mens in pellibus.
MER. Age rurſus audi quid modo ex me quæreret,
Ecquos habebat qui ſibi vellent male,
Ecquos amicos nec ſtudentes prælijs.
TR. Fauentem habebat oppido Cleonymum.
MER. Qualem eſſe cenſes Martio in diſcrimine
Cleonymum illum? TRY. mente præditum optima.
Sed non parentis quo ſuperbit filium:
Nam militatum ſi profectus eſt, ſtatim
Suppoſita proles arma ponens deſerit.
MER. Aduerte rurſus quale ſciſcitata ſit:
Quis potitur in frequente ſuggeſtum Pnyce?

Σχόλια. Ἀλλ' οὐκ ἂν εἴποι.] διπλῆ καὶ εἴσθεσις περὶ τὸ τετράμετρον εἰς ἰαμβικὰ τρίμετρα οβ. μεθ' ἃ τὰ λβ.